## *Delibera, dopo la vittoria, sulla sorte dei vinti*

Ἐκκλησίας δὲ πανδήμου Συρακουσίων καὶ τῶν συμμάχων γενομένης, Εὐρυκλῆς ὁ δημαγωγὸς ἔγραψε, πρῶτον μὲν τὴν ἡμέραν ἐν ᾗ τὸν Νικίαν ἔλαβον ἱερὰν ἔχειν, θύοντας καὶ σχολάζοντας ἔργων, Ἀσιναρίαν τὴν ἑορτὴν ἀπὸ τοῦ ποταμοῦ καλοῦντας[144]· [2] ἡμέρα δ' ἦν τετρὰς[145] φθίνοντος τοῦ Καρνείου μηνός[146], ὃν Ἀθηναῖοι Μεταγειτνιῶνα[147] προσαγορεύουσι· τῶν δ' Ἀθηναίων τοὺς μὲν οἰκέτας ἀποδόσθαι καὶ τοὺς ἄλλους συμμάχους, αὐτοὺς δὲ καὶ τοὺς ἀπὸ Σικελίας φρουρεῖν ἐμβαλόντας εἰς τὰς λατομίας πλὴν τῶν στρατηγῶν, ἐκείνους δ' ἀποκτεῖναι. [3] Ταῦτα προσδεχομένων τῶν Συρακουσίων, Ἑρμοκράτης μὲν εἰπὼν ὅτι τοῦ νικᾶν κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ, οὐ μετρίως ἐθορυβήθη, Γύλιππον δὲ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων ἐξαιτούμενον ζῶντας ἀγαγεῖν Λακεδαιμονίοις ὑβρίζοντες ἤδη τοῖς εὐτυχήμασιν οἱ Συρακούσιοι κακῶς ἔλεγον, ἄλλως τε καὶ παρὰ τὸν πόλεμον αὐτοῦ τὴν τραχύτητα καὶ τὸ Λακωνικὸν τῆς ἐπιστασίας οὐ ῥᾳδίως ἐνηνοχότες, [4] ὡς δὲ Τίμαιός φησι, καὶ μικρολογίαν τινὰ καὶ πλεονεξίαν κατεγνωκότες, ἀρρώστημα πατρῷον ἐφ' ᾧ καὶ Κλεανδρίδης ὁ πατὴρ αὐτοῦ[148] δώρων ἁλοὺς ἔφυγε, καὶ οὗτος αὐτὸς ἀπὸ τῶν χιλίων ταλάντων, ἃ Λύσανδρος ἔπεμψεν εἰς Σπάρτην, ὑφελόμενος τριάκοντα καὶ κρύψας ὑπὸ τὸν ὄροφον τῆς οἰκίας, εἶτα μηνυθείς, αἴσχιστα πάντων ἐξέπεσεν.

## Questionario

1. Riassumi il contenuto del testo (max. otto righi).
2. Illustra, con le informazioni di cui disponi, a conclusione di quali eventi si svolse questo dibattito e indicane la data (max. sei righi).
3. C'è un discreto uso di terminologia sociale e politica: indica i vocaboli che la mettono in evidenza.
4. Tra i participi ~~presenti~~ indicane alcuni, chiarisci l'uso sintattico e il verbo da cui derivano.
5. Plutarco ricorre al discorso indiretto? Fa affiorare sue valutazioni sui fatti? (max. quattro righi).